p. 482e. συμποδισθείς.

5 ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζῴων τῶν συμποδιζομένων ἐπὶ τὸ σφαγῆναι.

p. 483a. ἐδιώκαθες.

6 ἀντὶ τοῦ ἐδίωκες.

p. 483a. ὅπερ κάκιον τοῦ ἀδικεῖσθαι.

7 τὸ ἀδικεῖσθαι φύσει αἴσχιον καὶ κάκιον, ὦ Σώκρατες, τὸ δὲ ἀδικεῖν καλόν· ἰστέον τοίνυν, ὅτι ταῦτα μὲν ὁ Καλλικλῆς· εἰ δὲ ἀδικεῖταί τις περὶ τὰ ἐκτὸς ἢ τὸ σῶμα οὐκ ἔστι κακόν, οὐδὲ γὰρ συνεγεννήθημεν τούτοις, ὥστε τὰ μὴ ἐφ' ἡμῖν ἀπολλύντες οὐκ ὀφείλομεν ἄχθεσθαι· εἰ δὲ ἀδικοῖτο ἡ ψυχή, κάκιστον, καὶ δεῖ τότε σπεύδειν ταύτης ἀπαλλαγῆναι τῆς ἀδικίας· φροντίσωμεν οὖν τοῦ σωθῆναι τὴν ψυχὴν εἰδότες, ὡς τὰ χρήματα καὶ τὸ σῶμα οὐδὲν συμβάλλονται· ποιήσωμεν οὖν, ὃ εἶπεν ἐκεῖνος·

αὐτὸν μὲν μ' ἐσάωσα τί μοι μέλει ἀσπὶς ἐκείνη·
ἐρρέτω·

μάτην οὖν ὁ Καλλικλῆς τοιαῦτα φθέγγεται. ὅρα δὲ δύναμιν τοῦ Σωκράτους· πάντας γὰρ τοὺς ὑπὲρ ἀδικίας λόγους ἐν μέσῳ φέρει καὶ πάντας ἐλέγχει, ἵνα μηδὲν ἀνέλεγκτον μείνῃ ὀφειλον ταράξαι ἡμᾶς, ἀλλὰ πάντα κατὰ κράτος λυθήσεται.

p. 483c. φαυλότεροι ὄντες.

8 οὐ κάκιστοι ἀλλὰ ἀσθενέστεροι.

p. 483d. Ξέρξης περὶ τὴν Ἑλλάδα.

9 οἴεται ὁ Καλλικλῆς δίκαια πεπραχέναι τὸν Ξέρξην· ὅτι δὲ ἀδικίᾳ καὶ πολλῇ ἐχρήσατο, δῆλον ἐκ τοῦ ἀμοιβὰς αὐτὸν ἀξίας δεδωκέναι τῶν αὐτοῦ ἀθεμίτων πράξεων.

---

5 cf. schol. in Gorg. p. 314 **16** cf. Archil. fr. 6

---

**6** ὅπερ κάκιον τοῦ ἀδικεῖσθαι **M** ὅπερ καὶ κάκιον τὸ ἀδικεῖσθαι codd. Plat. **24** περὶ **M** ἐστὶ codd. Plat.